Νὴ Δία οὐχὶ πρυτανεῖον.] ἐχρῆν μόνον αὐτοὺς τὴν πάτριον ὀμόσαι. ἀλλ' ἐπαίρων τοὺς Ἀθηναίους τοῦτό φησιν, ὡς οὐκ Ἀθηνᾷ μόνῃ χρήσαιντο, ἀλλὰ καὶ Διΐ. Ἢν ἔχομεν τὴν Πύλον.] τοῦτο διὰ τοὺς ληφθέντας ἐν Σφακτηρίᾳ τριακοσίους καὶ διὰ τὸ ἐπιτείχισμα ὅπερ Ἀθηναῖοι κατέστησαν ἐν Πύλῳ. ὅτι ληφθείσης αὐτῆς, περὶ εἰρήνης πρῶτοι Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐπρέσβευον.

CHRIST. τὴν Πύλον] Pylus insula iuxta Peloponnesum, & regio Laconicæ, olim etiam dicta Coryphasium & Sphacteria ab occisione illa Lacedæmoniorum in arce pugnantium, duce temerario Brasida, cùm trecentos propugnatores accepisset: capta tandem fuit cum trecentis illis à Cleone, qui præclari facinoris gloriam eripere voluit Demostheni & Niciæ fortissimis ducibus, qui fortiter pugnando eam ad incitas redegerant. Itaque cùm cepissent Pylon Athenienses, statim Lacedæmonij legatos de Pace miserunt. Hic Atheniensium tangit superbiam & ferociam in rebus prosperis. Mox legerem ὑμεδαπὸς non ἡμεδαπός.

Σχόλια. Ἐπεφόρησεν.] ἐπεσώρευσεν. Θυείαν.] θυεία ἀγγεῖον εἰς ὃ ἐμβάλλοντες τινὰ ἀρτύματα τρίβομεν καὶ λειοῦμεν. Φέρ' αὐτὸν ἀποδρῶ] νοεῖν δεῖ τὸν Τρυγαῖον ἀποβεβηκότα τοῦ κανθάρου ἐπὶ τῆς σκηνῆς ταῦτα λέγειν. Θυείας] ἀντὶ τοῦ εἰπεῖν σάλπιγγος θυείας εἶπεν.

## ΠΟΛΕΜΟΣ, ΤΡΥΓΑΙΟΣ, ΚΥΔΟΙΜΟΣ.

## BELLUM, TRYGÆUS, Tumultus.

BISE. Κορωνὶς ἑτέρα ἐκ στίχων τοῖς προηγουμένοις ὁμοίων ξγ'. μεθ' οὓς δύο τροχαϊκοὶ τοῖς ἑξῆς ὅμοιοι.

Πό. Ἰὼ βροτοί, βροτοί, βροτοί, πολυτλήμονες.
Ὡς αὐτίκα μάλα τὰς γνάθους ἀλγήσετε.
Τρ. Ὦναξ Ἄπολλον τῆς θυείας τοῦ πλάτους,
Ὅσον κακόν, καὶ τοῦ πολέμου καὶ τοῦ βλέμματος.
Ἆρ' οὗτός ἐστ' ἐκεῖνος ὃν καὶ φεύγομεν;
Ὁ δεινός, ὁ ταλαύρινος, ὁ κατὰ τοῖν σκελοῖν;
Πό. Ἰὼ πρασιαὶ τρισάθλιαι, καὶ πεντάκις,
Καὶ πολλοδεκάκις, ὡς ἀπολεῖσθε τήμερον.
Τρ. Τουτὶ μὲν ἄνδρες οὐδὲν ἡμῖν πρᾶγμά πω.
Τὸ γὰρ κακὸν τοῦτ' ἐστὶ τῆς Λακωνικῆς.
Πό. Ἰὼ Μέγαρα Μέγαρ' ὡς ἐπιτετρίψεσθ' αὐτίκα,
Ἁπαξάπαντα καταμεμυττωτευμένα.
Τρ. Βαβαὶ βαβαιάξ. ὡς μεγάλα καὶ δριμέα
Τοῖσι Μεγαρεῦσιν ἐνέβαλε τὰ κλαύματα.
Πό. Ἰὼ Σικελία, καὶ σὺ δ' ὡς ἀπόλλυσαι.
Οἵα πόλις τάλαινα διακναισθήσεται.
Φέρ' ἐπιχέω καὶ τὸ μέλι τουτὶ τ' Ἀττικόν.
Τρ. Οὗτος, παραινῶ μέλιτι χρῆσθαι θατέρῳ.
Τετρώβολον τοῦτ' ἐστί, φείδου τ' Ἀττικοῦ.
Πό. Παῖ παῖ Κυδοιμέ. Κυ. τί με καλεῖς; Πόλ. Κλαύσει μακρά.
Ἕστηκας ἀργός. οὑτοσί σοι γὰρ κόνδυλος
Ὡς δριμύς. Κυ. Οἴμοι μοι τάλας ὦ δέσποτα.
Μῶν τῶν σκορόδων ἐνέβαλες εἰς τὸν κόνδυλον;
Πό. Οἴσεις ἀλετρίβανον τρέχων. Κυ. Ἀλλ' ὦ μέλε
Οὐκ ἔστιν ἡμῖν. ἐχθὲς εἰσῳκίσμεθα.
Πό. Οὔκουν παρ' Ἀθηναίους μεταθρέξει ταχύ.
Κυ. Ἔγωγε νὴ Δί'. εἰ δὲ μή γε κλαύσομαι.

BEL. O misera & ærumnosa gens mortalium
Maxilla vobis quàm dolebit vtraque.
TRY. O vastitatem Phœbe Rex mortarij,
O quale belli quale & aspecti malum:
An ille vero est opere quem sic maximo
Effugimus? ille durus, infractus pedes?
BEL. Ter io quaterque vos miseræ adhæc quinquies
Deciésque Prasiæ, vt occidistis funditus!
TRY. Ad nos nihil adhuc, ô viri, illa pertinent:
Regionis istuc est malum Laconicæ.
BEL. Io Mégara, Mégara, heu minutatim omnia
Numerò interenda, ceu moreti potio.
TRY. Babæ babæ, attat, heu vt ingentes modo
Iniecit acres lacrymas Megarensibus.
BEL. Io vt occidisti, & tu ferax Sicania,
Heu qualis vrbs misella fartim disperit.
Cedò hocce vt infundam super mel Atticum.
TRY. Heus tu, tibi inquā alio potes melle vtier.
Hoc emitur obolis quattuor, parce Attico.
BEL. Puer puer Tumultus. TVM. ecquid me vocas?
BEL. Ignauus hic stas, ociosus, vapula,
En quàm acer iste colaphus. TVM. hei mihi ô here
Colapho indidistin' allij acrimoniam?
BEL. Feré/ne pistillum ocyus? TVM. nescisne tu
Non esse nobis? demigrauimus heri adhuc.
BEL. Quin mutuare ab Atheniensibus licet.
TV. O Iuppiter, licet, sed absque lacrymis.

Σχόλια. Ἰὼ βροτοί.] κορωνὶς ἑτέρα, ἑτέρων εἰσιόντων ὑποκειτῶν. οἱ δὲ στίχοι ὅμοιοι τοῖς προφθάσασι ξγ. καὶ ἐν ἐκθέσει τροχαϊκοὶ τοῖς ἑξῆς ὅμοιοι δύο. ἐπὶ τῷ τέλει κορωνίς. ἐξιόντων ὑποκειτῶν, ὁ πόλεμος ἐξέρχεται θέλων τρῖψαι μυττωτόν. σκευὴ δὲ αὐτοῦ ἐκ τυροῦ καὶ σκορόδου καὶ μέλιτος καὶ πράσων. Τὰς γνάθους ἀλγήσετε.] τριβόμενοι ἐν τῇ θυείᾳ, ἢ τοῦτον τὸν μυττωτὸν ἐσθίοντες. ἢ ἐπεὶ πολέμου ὄντος ἀργεῖ τὰ δικαστήρια, ἀντὶ τοῦ εἰπεῖν λιμώττοντες. Ὁ δεινός] ταῦτά φησι θεασάμενος τὸν πόλεμον, μείζονα τὴν ὑπόνοιαν ἔχοντα τῆς πείρας τῆς διὰ τῆς ὄψεως. Ταλαύρινος] ὑπομονητικὸς καρτερικὸς ἐν τῇ μάχῃ.

BISETVS. Εὐστάθιος, ταλαύρινος, ὁ τάλανα ῥινόν, ἤγουν ὁ καρτερικὸν δέρμα ἔχων. Ὁ κατὰ τοῖν σκελοῖν] ἤγουν ὁ διαστήσας τὰ σκέλη, τουτέστι τὴν βάσιν πρὸς ἀντέρει-